ταλαιπωρέω B 53,361.6: *204*
τέρπω B 93,369.25: *204*
τιμή B 49,359.1: *207*
οἱ τρόποι B 62,365.16–7
ὑγίεια B 2,339.7
φήλωμα B 71,366.23: *206*
φιλία B 64,366.6
φιλότης B 49,359.10: *204*
φιλοχρηματέω B 103,370.10
φρόνιμος A 9,337.19: *209*
φροντίζω B 54,362.8: *204, 205, 208*
φροντίς B 49,360.1: *205, 207*
χαρίζομαι B 58,364.9: *204*

Heidelberg William D. Furley

# ANTIKE BEZEICHNUNGEN DER GOTTLOSIGKEIT UND DES ATHEISMUS

Um eine kritische Geschichte des antiken Atheismus schreiben zu können, benötigt man eine Sammlung der verschiedenen Bezeichnungen der Gottlosigkeit und des Atheismus. Diese Arbeit ergänzt meinen Aufsatz „Wer galt im Altertum als Atheist?“ (Philologus 128, 1984, 157–183), in dem ich ein Verzeichnis der Personen, die als Atheisten und Gottlose angesehen wurden, zusammengestellt habe. Die Bezeichnungen betreffen nur die heidnische Welt[1]). Die Namen der antiken Schriftsteller sind chronologisch geordnet. Bei der Interpretation der Testimonien werden zwei meiner anderen Arbeiten behilflich sein: „Bibliographie zum antiken Atheismus“ (Elenchos 10, 1989, 103–192) und „Methodisches zum antiken Atheismus“ (RhM 133, 1990, 1–15).

---

1) Zum Vorwurf des Atheismus gegen die Christen siehe z. B. A. Harnack, Der Vorwurf des Atheismus in den drei ersten Jahrhunderten, Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur NF XIII 4, 1905, 3–16, bes. 8–15; N. Brox, Zum Vorwurf des Atheismus gegen die alte Kirche, Trierer Theologische Zeitschrift 75, 1966, 274–282; J. Speigl, Der römische Staat und die Christen. Staat und Kirche von Domitian bis Commodus, Amsterdam 1970, 144–152; L. Alfonsi, L'accusa di ateismo ai cristiani in Atenagora e Giustino, in: Sodalitas. Scritti in onore di A. Guarino, 3, Napoli 1984 (Biblioteca di Labeo 8), 1477–1481.

1) Xenophanes (VS 21 A 12) ap. Arist. Rhet. II 23 p. 1399 b 6–8 (p. 133 Kassel)

οἷον Ξενοφάνης ἔλεγεν, ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε.

2) Antiphon Or. Tetr. Γα 2 p. 122 Decleva Caizzi

ὅστις οὖν τούτων ὑπὸ τοῦ θεοῦ ἀξιωθέντος τοῦ βίου ἡμῶν ἀνόμως τινὰ ἀποκτείνει, ἀσεβεῖ μὲν περὶ τοὺς θεούς, συγχεῖ δὲ τὰ νόμιμα τῶν ἀνθρώπων.

3) Diopeithes ap. Plut. Per. 32 (VS 59 A 17 = KRS 462)

καὶ ψήφισμα Διοπείθης ἔγραψεν εἰσαγγέλλεσθαι τοὺς τὰ θεῖα μὴ νομίζοντας ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας, ἀπερειδόμενος εἰς Περικλέα δι' Ἀναξαγόρου τὴν ὑπόνοιαν.

4) Hippocrates De morbo sacro I 28 et 30 (p. 64 Grensemann = VI 358–360 Littré)

καίτοι ἔμοιγε οὐ περὶ εὐσεβείης τοὺς λόγους δοκέουσι ποιεῖσθαι (scil. οἱ μαγεύοντες), ὡς οἴονται, ἀλλὰ περὶ ἀσεβείης μᾶλλον καὶ ὡς θεοὶ οὐκ εἰσί, τὸ δὲ εὐσεβὲς αὐτῶν καὶ τὸ θεῖον ἀσεβές ἐστι καὶ ἀνόσιον, ὡς ἐγὼ διδάξω ... οἱ ταῦτα ἐπιτηδεύοντες δυσσεβεῖν ἔμοιγε δοκέουσι καὶ θεοὺς οὔτ' εἶναι νομίζειν οὔτε ἰσχύειν οὐδὲν οὐδὲ εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων ποιέοντες, ὡς οὐ δεινοὶ αὐτοῖς εἰσιν.

5) Xenophon

A. Memor. I 1,1 ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων. cf. Xen. Apol. 10; Pl. Euth. 3 B; Pl. Apol. 24 B; Favorinus (F 51 Mensching) ap. D.L. II 40.

B. Apol. 24 ὡς δὲ τέλος εἶχεν ἡ δίκη, εἰπεῖν αὐτόν (scil. Σωκράτη), ἀλλ', ὦ ἄνδρες, τοὺς μὲν διδάσκοντας τοὺς μάρτυρας ὡς χρὴ ἐπιορκοῦντας καταψευδομαρτυρεῖν ἐμοῦ καὶ τοὺς πειθομένους τούτοις ἀνάγκη ἐστὶ πολλὴν ἑαυτοῖς συνειδέναι ἀσέβειαν καὶ ἀδικίαν.

6) Plato

A. Leg. X 885 B θεοὺς ἡγούμενος εἶναι κατὰ νόμους οὐδεὶς πώποτε οὔτε ἔργον ἀσεβὲς ἠργάσατο ἑκὼν οὔτε λόγον ἀφῆκεν ἄνομον, ἀλλὰ ἓν δή τι τῶν τριῶν πάσχων, ἢ τοῦτο, ὅπερ εἶπον, οὐχ ἡγούμενος, ἢ τὸ δεύτερον ὄντας οὐ φροντίζειν ἀνθρώπων, ἢ τρίτον εὐπαραμυθήτους εἶναι θυσίαις τε καὶ εὐχαῖς παραγομένους.

B. Leg. X 967 A οἱ μὲν γὰρ διανοοῦνται τοὺς τὰ τοιαῦτα μεταχειρισαμένους ἀστρονομίᾳ τε καὶ ταῖς μετὰ ταύτης ἀναγκαίαις ἄλλαις τέχναις ἀθέους γίγνεσθαι, καθεωρακότας ὡς οἷόν τε γιγνόμενα ἀνάγκαις πράγματ' ἀλλ' οὐ διανοίαις βουλήσεως ἀγαθῶν πέρι τελουμένων.

7) Lycurgus Adv. Leocr. 147
οἷς ἅπασιν ἔνοχον ὄντα Λεωκράτην ἔστιν ἰδεῖν ... ἀσεβείας δ' ὅτι τοῦ τὰ τεμένη τέμνεσθαι καὶ τοὺς νεὼς κατασκάπτεσθαι τὸ καθ' ἑαυτὸν γέγονεν αἴτιος (...)

8) Demosthenes Or. XXIII 79 (Κατ' Ἀριστοκράτους)
ἴσον ἡγεῖτ' ἀσέβημ' ὁ ταῦτα διαιρῶν τόν τ' ἀδικοῦντ' ἐᾶν καὶ τὸν ἀναίτιον ἐκδιδόναι πρὸ δίκης.

9) Ps.-Demosthenes Or. LIX 116 (Κατὰ Νεαίρας) (IV 106 Gernet)
ὅτι Ἀρχίαν τὸν ἱεροφάντην γενόμενον, ἐξελεγχθέντα ἐν τῷ δικαστηρίῳ ἀσεβεῖν θύοντα παρὰ τὰ πάτρια τὰς θυσίας, ἐκολάσατε ὑμεῖς.

10) Antipater in Suda s.v. Ἀντίπατρος (I 241 Adler)
μόνος δὲ τῶν διαδόχων θεὸν καλέσαι Ἀλέξανδρον οὐχ εἵλετο, ἀσεβὲς τοῦτο κρίνας.

11) Epicurus
A. Epist. ad Menoec. ap. D. L. X 123 (p. 60 Usener, p. 45 v. d. Mühll, F 4 Arrighetti)
ἀσεβὴς δὲ οὐχ ὁ τοὺς τῶν πολλῶν θεοὺς ἀναιρῶν, ἀλλ' ὁ τὰς τῶν πολλῶν δόξας θεοῖς προσάπτων. cf. Porph. Ad Marcell. 17 (p. 285 sq. Nauck = p. 22 Pötscher)

B. Gnomol. Vat. Epic. 43 (p. 64 v. d. Mühll, F 6 Arrighetti)
φιλαργυρεῖν ἄδικα μὲν ἀσεβές, δίκαια δὲ αἰσχρόν.

12) Cleanthes (SVF I 500) ap. Plut. De facie in orbe lunae 6 p. 923 A
ὥσπερ Ἀρίσταρχον ᾤετο δεῖν Κλεάνθης τὸν Σάμιον ἀσεβείας προσκαλεῖσθαι τοὺς Ἕλληνας, ὡς κινοῦντα τοῦ κόσμου τὴν ἑστίαν, ὅτι ⟨τὰ⟩ φαινόμενα σῴζειν ἀνὴρ ἐπειρᾶτο μένειν τὸν οὐρανὸν ὑποτιθέμενος, ἐξελίττεσθαι δὲ κατὰ λοξοῦ κύκλου τὴν γῆν, ἅμα καὶ περὶ τὸν αὑτῆς ἄξονα δινουμένην.

13) Chrysippus

A. SVF III 606 ap. D.L. VII 119 = Suda s.v. θεῖα (II 713 Adler) τὸν δὲ φαῦλον ἄθεον· διττὸν δ᾽ εἶναι τὸν ἄθεον τόν τ᾽ ἐναντίως τῷ θείῳ λεγόμενον καὶ τὸν ἐξουθενητικὸν τοῦ θείου· ὅπερ οὐκ εἶναι περὶ πάντα φαῦλον.

B. SVF III 604 ap. Stob. Ecl. II 7 p. 68 Wachsmuth (...) διὸ καὶ πάντας εἶναι τοὺς ἄφρονας ἀσεβεῖς. τὴν γὰρ ἀσέβειαν κακίαν οὖσαν, ἄγνοιαν εἶναι θεῶν θεραπείας (...)

C. SVF III 661 ap. Stob. Ecl. II 7 p. 105 Wachsmuth ἀρέσκει δὲ καὶ πᾶν ἁμάρτημα ἀσέβημα εἶναι. τὸ γὰρ παρὰ τὴν βούλησίν τι πράττεσθαι τοῦ θεοῦ ἀσεβείας εἶναι τεκμήριον (...) τὸ δὲ κατὰ ἀσέβειαν πεπραγμένον ἀσέβημα εἶναι, πᾶν ⟨ἄρ᾽⟩ ἁμάρτημα ἀσέβημα εἶναι.

14) Sotion (F 3 Wehrli) ap. D.L. II 12 (VS 59 A 1)
ὑπὸ Κλέωνος αὐτὸν (scil. Ἀναξαγόραν) ἀσεβείας κριθῆναι, διότι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον.

15) Polybius Hist. XXXVI 9, 15 (IV 449 Buettner-Wobst)
ἀσέβημα μὲν γὰρ εἶναι τὸ περὶ τοὺς θεοὺς καὶ τοὺς γονεῖς καὶ τοὺς τεθνεῶτας ἁμαρτάνειν (...)

16) Ps.-Aristoteles De virt. et vitiis 7 p. 1251 a 31–33
ἀσέβεια μὲν ἡ περὶ θεοὺς πλημμέλεια καὶ περὶ δαίμονας ἢ καὶ περὶ τοὺς κατοιχομένους καὶ περὶ γονεῖς καὶ περὶ πατρίδα.

17) Philo Alexandrinus

A. De opificio mundi 170 (I 59 Cohn = p. 256 Arnaldez [vol. 1]) διὰ τοὺς ἀθέους, ὧν οἱ μὲν ἐνεδοίασαν ἐπαμφοτερίσαντες περὶ τῆς ὑπάρξεως αὐτοῦ (scil. τοῦ θείου), οἱ δὲ τολμηρότεροι καὶ κατεθρασύναντο φάμενοι μηδ᾽ ὅλως εἶναι, λέγεσθαι δ᾽ αὐτὸ μόνον πρὸς ἀνθρώπων πλάσμασι μυθικοῖς ἐπισκιασάντων τὴν ἀλήθειαν.

B. De spec. leg. I 327–333 (V 79–81 Cohn = p. 206–212 Daniel [vol. 24]) τῶν γὰρ ἀσεβῶν καὶ ἀνοσίων οὐχ εἷς τρόπος, ἀλλὰ πολλοὶ καὶ διαφέροντες. οἱ μὲν γὰρ τὰς ἀσωμάτους ἰδέας ὄνομα κενὸν ἀμέτοχον ἀληθοῦς πράγματος εἶναί φασι, τὴν ἀναγκαιοτάτην οὐσίαν ἐκ τῶν ὄντων ἀναιροῦντες, ἥτις ἐστὶν ἀρχέτυπον παράδειγμα πάντων ὅσα ποιότητες οὐσίας, καθ᾽ ἣν ἕκαστον εἰδοποιεῖτο καὶ διεμετρεῖτο. (...) ἕτεροι δ᾽ ὡς ἐν ἄθλοις κακίας τὰ ἐπ᾽ ἀσεβείᾳ νικητήρια σπεύδον-

τες αἵρεσθαι προσυπερβάλλουσιν ἅμα ταῖς ἰδέαις καὶ ὕπαρξιν θεοῦ παρακαλυπτόμενοι ὡς οὐκ ὄντος λεγομένου δ' εἶναι χάριν τοῦ συμφέροντος ἀνθρώποις, οἳ δὴ δι' εὐλάβειαν τοῦ δοκοῦντος πάντῃ παρεῖναι καὶ πάντα καθορᾶν ὄμμασιν ἀκοιμήτοις [οἷς] ἔμελλον ἀνέξειν ἀδικημάτων. (...) τρίτοι δ' εἰσὶν οἳ τὴν ἐναντίαν ἔτεμον εἰσηγησάμενοι πλῆθος ⟨θεῶν⟩ ἀρρένων τε καὶ θηλειῶν, πρεσβυτέρων τε αὖ καὶ νεωτέρων, πολυαρχίας λόγῳ τὸν κόσμον ἀναπλήσαντες, ἵνα τὴν τοῦ ἑνὸς καὶ ὄντως ὄντος ὑπόληψιν ἐκ τῆς ἀνθρώπων διανοίας ἐκτέμωσιν. (...) τετάρτους δὲ καὶ πέμπτους ἐλαύνει πρὸς μὲν τὸ αὐτὸ τέλος ἐπειγομένους, οὐ μὴν ἀπὸ τῶν αὐτῶν βουλευμάτων· ἀμφότεροι γὰρ ζηλωταὶ μεγάλου κακοῦ, φιλαυτίας, ὄντες ὥσπερ τινὰ κοινὴν οὐσίαν διενείμαντο τὴν ὅλην ψυχὴν ἐκ λογικοῦ καὶ ἀλόγου μέρους συνεστῶσαν· καὶ οἱ μὲν τὸ λογικόν, ὃ δὴ νοῦς ἐστι, διεκληρώσαντο, οἱ δὲ τὸ ἄλογον, ὅπερ εἰς τὰς αἰσθήσεις τέμνεται.

18) Dio Chrysostomus Or. XXXI 13 (II 222 v. Arnim)
τὰ μὲν περὶ τοὺς θεοὺς γιγνόμενα μὴ δεόντως ἀσεβήματα καλεῖται, τὰ δὲ πρὸς ἀλλήλους τοῖς ἀνθρώποις ἀδικήματα.

19) Plutarchus
A. De superst. 2 p. 165 B ἡ μὲν ἀθεότης κρίσις οὖσα φαύλη τοῦ μηδὲν εἶναι μακάριον καὶ ἄφθαρτον εἰς ἀπάθειάν τινα δοκεῖ τῇ ἀπιστίᾳ τοῦ θείου περιφέρειν, καὶ τέλος ἐστὶν αὐτῇ τοῦ μὴ νομίζειν θεοὺς τὸ μὴ φοβεῖσθαι.

B. De superst. 11 p. 170 F οὐκ οἴεται θεοὺς εἶναι ὁ ἄθεος.

C. Amat. 13 p. 757 C ὁρᾷς δήπου τὸν ὑπολαμβάνοντα βυθὸν ἡμᾶς ἀθεότητος, ἂν εἰς πάθη καὶ δυνάμεις καὶ ἀρετὰς διαγράφωμεν ἕκαστον τῶν θεῶν.

20) Arrianus Epict. diss. II 20, 23 p. 199 Schenkl (F 368 Usener)
λάβε τὰ ἐναντία· ὅτι ⟨θεοὶ⟩ οὔτ' εἰσίν, εἴ τε καὶ εἰσίν, οὐκ ἐπιμελοῦνται ἀνθρώπων οὐδὲ κοινόν τι ἡμῖν ἐστι πρὸς αὐτοὺς τὸ τ' εὐσεβὲς τοῦτο καὶ ὅσιον παρὰ τοῖς πολλοῖς ἀνθρώποις λαλούμενον κατάψευσμά ἐστιν ἀλαζόνων ἀνθρώπων καὶ σοφιστῶν ἢ νὴ Δία νομοθετῶν εἰς φόβον καὶ ἐπίσχεσιν τῶν ἀδικούντων.

21) Apuleius Apol. 27
*Verum haec ferme communi quodam errore imperitorum philosophis obiectantur, ut partim eorum qui corporum causas meras et simplicis rimantur irreligiosos putent eoque aiant deos abnuere, ut*

*Anaxagoram et Leucippum et Democritum et Epicurum ceterosque rerum naturae patronos.*

22) Pollux Onomast. I 20–22 (p. 5 sq. Bethe)
ὁ μὲν τοίνυν θεοὺς νομίζων ἀνὴρ καλοῖτ' ἂν εὐσεβής (...) ὁ δὲ ἐναντίος ἄθεος, ἀνίερος, ἀσεβής, δυσσεβής, ἀθέμιτος, μισόθεος, θεομισής, ὀλίγωρος θεῶν, νεωτεριστὴς περὶ τὸ θεῖον, ἐναγής, ἐξάγιστος, βέβηλος, θεοβλαβής (...) ὀνόματα δὲ τοῦ πράγματος ἐκεῖ μὲν εὐσέβεια καὶ ὁσιότης καὶ θεῶν ἐπιμέλεια (...) ἐνταῦθα δὲ ἀσέβεια καὶ ἀνοσιότης καὶ ὀλιγωρία περὶ τὸ θεῖον καὶ θεοβλάβεια καὶ ἀθεότης.

23) Clemens Alexandrinus
A. Protr. II 23, 1 (I 17 Stählin) ἀθέους δὲ εἰκότως ἀποκαλῶ τούτους, οἳ τὸν μὲν ὄντως ὄντα θεὸν ἠγνοήκασιν (...) διττῇ ἐνεσχημένοι τῇ ἀθεότητι, προτέρᾳ μέν, καθ' ἣν ἀγνοοῦσι τὸν θεόν, τὸν ὄντως ὄντα μὴ γνωρίζοντες θεόν, ἑτέρᾳ δὲ καὶ δευτέρᾳ ⟨δὴ⟩ ταύτῃ ⟨τῇ⟩ πλάνῃ τοὺς οὐκ ὄντας ὡς ὄντας νομίζοντες καὶ θεοὺς τούτους ὀνομάζοντες τοὺς οὐκ ὄντως ὄντας, μᾶλλον δὲ οὐδὲ ὄντας, μόνου δὲ τοῦ ὀνόματος τετυχηκότας.

B. Protr. V 64, 3 (I 49 Stählin) ἄθεοι μὲν δὴ καὶ οὗτοι (scil. Θαλῆς, Ἀναξιμένης, Διογένης ὁ Ἀπολλωνιάτης, Παρμενίδης, Ἵππασος, Ἡράκλειτος, Ἐμπεδοκλῆς) σοφίᾳ τινὶ ἀσόφῳ τὴν ὕλην προσκυνήσαντες (...)

C. Strom. I 11, 52 (II 34 Stählin) στοιχεῖα δὲ σέβουσι Διογένης μὲν τὸν ἀέρα, Θαλῆς δὲ τὸ ὕδωρ, Ἵππασος δὲ τὸ πῦρ, καὶ οἱ τὰς ἀτόμους ἀρχὰς ὑποτιθέμενοι, φιλοσοφίας ὄνομα ὑποδυόμενοι, ἄθεοί τινες ἀνθρωπίσκοι καὶ φιλήδονοι.

D. Strom. VII 1, 4 (III 5 Stählin) ἄθεος μὲν γὰρ ὁ μὴ νομίζων εἶναι θεόν.

24) Sextus Empiricus Πυρρώνειοι ὑποτυπώσεις III 3, 11–12
εἰ δὲ δύναται μὲν πάντων προνοεῖν (scil. ὁ θεός), οὐ βούλεται δέ, βάσκανος ἂν εἶναι νομισθείη. εἰ δὲ οὔτε βούλεται οὔτε δύναται, καὶ βάσκανός ἐστι καὶ ἀσθενής, ὅπερ λέγειν περὶ θεοῦ ἀσεβούντων ἐστιν. (...) ἐκ δὲ τούτων ἐπιλογιζόμεθα, ὅτι ἴσως ἀσεβεῖν ἀναγκάζονται οἱ διαβεβαιωτικῶς λέγοντες εἶναι θεόν· πάντων μὲν γὰρ αὐτὸν προνοεῖν λέγοντες κακῶν αἴτιον τὸν θεὸν εἶναι φήσουσιν, τινῶν δὲ ἢ καὶ μηδενὸς προνοεῖν αὐτὸν λέγοντες ἤτοι βάσκανον τὸν θεὸν ἢ ἀσθενῆ λέγειν ἀναγκασθήσονται, ταῦτα δέ ἐστιν ἀσεβούντων προδήλως.

25) Anonymus Seguerianus Τέχνη ῥητορική 215 (Rhet. Gr. I 390 Spengel-Hammer = p. 42 Graeven)
ἀσεβείας κρινομένη ἡ Φρύνη· καὶ γὰρ ἐκώμασεν ἐν Λυκείῳ, καινὸν εἰσήγαγε θεὸν καὶ θιάσους ἀνδρῶν καὶ γυναικῶν συνήγαγεν.

26) Aelianus VH V 12
τῆς δὲ ἀσεβείας ὁ δῆμος τὸ ὑπερβάλλον μὴ ἐνεγκών, ζημίαν ἐτιμήσαντο τῷ Δημάδῃ ταλάντων ἑκατόν, ὅτι θνητὸν αὐτὸν δὴ τὸν Ἀλέξανδρον ὄντα ἐνέγραψε τοῖς Ὀλυμπίοις.

27) Origenes De oratione V 1 (II 308 Kötschau)
ἔστι γὰρ τὸ δόγμα, ἤτοι τῶν πάντῃ ἀθέων καὶ τὴν οὐσίαν τοῦ θεοῦ ἀρνουμένων ἢ τῶν μέχρις ὀνόματος τιθέντων θεὸν τὴν πρόνοιαν δὲ αὐτοῦ ἀποστερούντων.

28) Gregorius Thaumaturgus Εἰς Ὠριγένην λόγος προσφωνητικός XIII 152
πλὴν ὅσα (scil. γράμματα) τῶν ἀθέων εἴη, ὅσοι ἐκκυλισθέντες ὁμοῦ καὶ τῶν ἀνθρωπίνων ἐννοιῶν οὐκ εἶναι θεὸν ἢ πρόνοιαν λέγουσι (...)

29) Porphyrius
A. In Plat. Timaeum comm. 28 (p. 18 Sodano) ap. Proclum, In Tim. comm. 64 A (I 207 sq. Diehl) ὡς οὔτε οἱ τὴν πρώτην ἀθεότητα νοσήσαντες προσποιοῦνται τὴν ἀπὸ τῆς εὐχῆς ὠφέλειαν, οἵ γε μηδὲ εἶναι λέγοντες θεούς, οὔτε οἱ τὴν δευτέραν, ὅσοι τὴν πρόνοιαν ἄρδην ἀνατρέπουσι θεοὺς εἶναι διδόντες, οὐθ' οἱ καὶ εἶναι καὶ προνοεῖν αὐτοὺς συγχωροῦντες, ἅπαντα δὲ ἀπ' αὐτῶν ἐξ ἀνάγκης γίνεσθαι.

B. Sentent. 40 (p. 51 sq. Lamberz) ὥστε πᾶς φαῦλος βίος δουλείας πλήρης καὶ ἀσεβείας καὶ διὰ τοῦτο ἄθεός τε καὶ ἄδικος ⟨διὰ τὸ add. Kroll⟩ ἐν αὐτῷ πνεῦμα πλῆρες ὑπάρχον τῆς ἀσεβείας καὶ διὰ τοῦτο καὶ ἀδικίας.

30) Athanasius Or. 2 contra Arianos 43 (PG 26, col. 237 B)
οὕτω καὶ Ἕλληνες, καίτοι θεὸν διὰ χειλέων λέγοντες, ἀθεότητος ἔχουσιν ἔγκλημα, ὅτι τὸν ὄντως ὄντα καὶ ἀληθινὸν θεὸν οὐ γινώσκουσι, τὸν πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

31) Arnobius Adv. nat. V 30
*iam dudum me fateor reputantem mecum in animo rerum huiuscemodi monstra solitum esse mirari, audere vos dicere quem-*

*quam ex is atheum inreligiosum sacrilegum qui deos esse omnino aut negent aut dubitent, aut qui eos homines fuisse contendant et potestatis alicuius et meriti causa deorum in numerum relatos (...)*

32) Eusebius

A. Comm. in Ps. 13, 2 (PG 23, col. 144 C) τῶν δὲ ἀθέων οἱ μὲν μὴ εἶναι θεὸν παντελῶς ἔδοξαν, ἀλλ' εἶναι διὰ κενὸν ὄνομα. οἱ δὲ μὴ ὄντας ἀνέπλασαν, τὸν ὄντα παρωσάμενοι. οἱ δὲ εἶναι μὲν ἔφασαν, μὴ προνοεῖν δὲ τῶν ἐπὶ γῆς. οἱ δὴ πάντες εἰς ἀθεΐαν περιετράπησαν φρονοῦντες οὕτως.

B. Paneg. 3 p. 201 Heikel (GCS 7) ἀκριβῶς γὰρ ἄθεον τὸ πολύθεον.

C. PE II 4, 1 (I 87 Mras-Des Places) σώφρονι λογισμῷ κρίναντες ἀνόσιον εἶναι καὶ δυσσεβὲς τῇ τοῦ θεοῦ σεβασμίῳ προσηγορίᾳ τιμᾶν τοὺς πάλαι ἐν νεκροῖς κειμένους θνητοὺς ἄνδρας (...)

33) Augustinus Enarratio 2 in Ps. 31,25 (CCL 38, p. 242 sq.)

*In istis tribus sententiis magna impietas, aut negare Deum, aut dicere iniustum, aut auferre illi gubernationem rerum.*

34) Hierocles Comment. in Aureum Pythag. carmen XI 25 (p. 50 Köhler)

(...) τὴν μεγίστην δὲ ἐπικτᾶσθαι κακίαν, ἐὰν ἀπρονόητον τὸ πᾶν ἢ κακῶς φροντιζόμενον οἰηθῶμεν. τοῦτο δὲ ταὐτόν ἐστι τῷ μὴ οἴεσθαι εἶναι θεὸν ἢ ὄντα μὴ προνοεῖν ἢ προνοοῦντα μὴ ἀγαθὸν εἶναι καὶ δίκαιον, ἃ δὴ τῆς παντοδαποῦς ἀσεβείας ἐστὶ τὰ συνεκτικώτατα καὶ πρὸς πᾶσαν κακίαν συνωθοῦντα τὸν τοῖς τοιούτοις ἑαλωκότα δοξάσμασιν.

35) Isidorus Pelusiotes Epist. IV 99 (PG 78, col. 1164)

ἐπειδὴ τῶν ἀνθρώπων, ὡς γέγραφας, οἱ μὲν μηδ' εἶναι τὸ θεῖόν φασιν, οἵτινες τὰ ἐπ' ἀσεβείᾳ νικητήρια ἤραντο· οἱ δὲ εἶναι μέν, μὴ προνοεῖν δέ· ἄλλοι δὲ προνοεῖν μέν, ἀλλὰ τῶν ἐπουρανίων· ἄλλοι δὲ καὶ τῶν ἐπιγείων μέν, οὐ πάντων δέ, ἀλλὰ καὶ βασιλέων καὶ ἀρχόντων· ἄλλοι δὲ πάντων μὲν (καὶ γὰρ καὶ μέχρι μυρμήκων τὴν πρόνοιαν διήκειν), οὐ μὴν Τριάδα ὁμοούσιον προσκυνεῖν· καὶ οἱ μὲν αὐτοματισμόν, οἱ δὲ εἱμαρμένην εἶναι ὁρίζονται.

36) Cyrillus Alexandrinus Comment. in Sophoniam proph. 9 (PG 71, col. 961 D)

ἀπρονοησία δὴ οὖν, καὶ ἕτερον οὐδὲν τὸ θρυλλούμενον. αἰσχρὸν

δὲ οὕτω τὸ δόγμα καὶ κατεστυγημένον, ὡς μηδὲ αὐτοῖς τοῖς Ἑλλήνων ἀρέσαι σοφοῖς. ἄθεον γὰρ ὠνόμαζον τὸν τῶν τοιούτων εἰσηγητήν· Ἐπίκουρος οὗτος ἦν, εἷς τῶν παρ' αὐτοῖς ἐπὶ σοφίᾳ βεβοημένων.

37) Theodoretus

A. Graec. affect. cur. III 4 οὔκουν μόνοι γε ἄθεοι Διαγόρας ὁ Μιλήσιος καὶ ὁ Κυρηναῖος Θεόδωρος καὶ Εὐήμερος ὁ Τεγεάτης καὶ οἱ τούτοις ἠκολουθηκότες. παντάπασι φάντες μὴ εἶναι θεούς (...) ἀλλὰ καὶ Ὅμηρος καὶ Ἡσίοδος καὶ αἱ τῶν φιλοσόφων ξυμμορίαι, παμπόλλους μὲν θεῶν μυθολογήσαντες ὁρμαθούς, ἀνδραποδώδεις δέ τινας καὶ παθῶν ἀνθρωπίνων ἀποφήναντες δούλους. εἰσὶ δὲ οἳ καὶ ἀνέδην τὰ αἴσχιστα πάθη, τὰ παρὰ σφῶν κατηγορούμενα, καὶ ὧν ἐπιμελῶς κρατεῖν τοῖς νέοις παρακελεύονται, θεούς τε ὠνόμασαν καὶ ὡς θεοῖς τὸ γέρας ἀπένειμαν.

B. Interpr. in Ps. 13, 1 (PG 80, col. 949 B–C) οἱ μὲν πάντη τὸ θεῖον ἀρνησάμενοι καὶ μηδὲ τὴν ἀρχὴν εἶναι θεὸν ἀποφηνάμενοι, ὑπόκενον δὲ εἶναι τοὔνομα, καὶ κατὰ μηδεμιᾶς οὐσίας ὑποκείμενον τεταγμένον. οἱ δὲ, τοὺς μὴ ὄντας ὡς ὄντας θεοὺς ἀναγορεύσαντες, καὶ τὸν μόνον ὄντα παρωσάμενοι. οἱ δὲ εἶναι μὲν τῷ λόγῳ ὑποστησάμενοι, μὴ μὴν δὲ προνοεῖν τῶν ἐπὶ γῆς, μηδὲ ἐφορᾶν τὰ ἀνθρώπινα παραδεδειγμένοι. ἀθρόως δὴ οὖν οἱ πάντες εἰς ἕνα λόγον ἀρνησίθεον περιετράπησαν, μὴ εἶναι θεὸν διανοηθέντες.

C. Interpr. in Ps. 1 (PG 80, col. 868 D) ἀσεβεῖς δὲ φίλον τῇ θείᾳ Γραφῇ καλεῖν τοὺς ἀθεΐαν, ἢ πολυθεΐαν θρησκεύοντας.

38) Iohannes Philoponus In Arist. De anima I 2 p. 88, 23 sq. Hayduck (CAG XV = VS 38 A 8)

οὗτος (scil. Ἵππων) ἄθεος ἐπεκέκλητο δι' αὐτὸ τοῦτο, ὅτι τὴν τῶν πάντων αἰτίαν οὐδενὶ ἄλλῳ ἢ τῷ ὕδατι ἀπεδίδου.

39) Suda

A. s.v. ἄθεον (I 67 sq. Adler) ἄθεόν ἐστι τὸ μὴ τὴν ἀθανασίαν τῆς ψυχῆς διασῴζειν καὶ ἀνάγειν εἰς τὸ θεοειδὲς καὶ συνάγειν αὐτὴν πρὸς τὸ θεῖον ἀρρήκτοις καὶ ἀλύτοις δεσμοῖς, ἢ τἀναντία τούτων, τὸ κατασπᾶν καὶ καθέλκειν τὸ ἐν ἡμῖν θεῖον εἰς τὸ γηγενὲς καὶ ἀλιτήριον, καὶ γιγαντῶδες ἢ τιτανικὸν δεσμωτήριον.

B. s.v. ἀσεβεῖς (I 380 Adler) ἀσεβεῖς: οἱ πολυθεΐαν ἢ ἀθεΐαν θρησκεύοντες.

C. s.v. Λουκιανός (III 283 Adler) ὁ ἐπικληθεὶς βλάσφημος ἢ

δύσφημος, ἢ ἄθεος εἰπεῖν μᾶλλον, ὅτι ἐν τοῖς διαλόγοις αὐτοῦ γελοῖα εἶναι καὶ τὰ περὶ τῶν θείων εἰρημένα παρατίθεται.

40) Basilius Minimus Schol. in Greg. Naz. Or. 1 C. Iul. (PG 36, 1092 A)

Ἀσία δὲ ἦν αὐτοῦ (scil. Ἰουλιανοῦ) τῆς ἀσεβείας διδασκαλεῖον, ὅσης γε τῆς ἀσεβείας περὶ ἀστρονομίαν, καὶ τὰ ἑξῆς. τῇ γὰρ κινήσει τῶν οὐρανίων περιγράφοντες τὰ ἡμέτερα, καὶ τὴν κτίσιν θεοποιοῦντες παρὰ τὸν κτίσαντα, ἀσεβείας διδασκαλεῖον εἰκότως ταύτην πεποίηται. οὗτοι γὰρ οἱ ἐν Ἀσίᾳ τηνικαῦτα ἀστρονομίᾳ καὶ γενέσει τὰς προγνώσεις τερατευσάμενοι, τὴν τοιαύτην ἀσέβειαν ἐξεπαίδευον φανταζόμενοι.

41) Scholia cod. Reg. in Arist. Met. I 3 p. 534 A Brandis

ἔλεγε γὰρ (scil. Ἵππων) μηδὲν ἕτερον εἶναι παρὰ τὰ φαινόμενα φυσικὰ πράγματα· ὅθεν καὶ ὡς μηδὲν ἄλλο τι παρὰ τὰ αἰσθητὰ δοξάζων εἶναι, ἄθεος ἐπεκλήθη.

Wrocław (Breslau) Marek Winiarczyk

# ARISTOPHANES ALS FREUND DER MUSE
## Zur Parabase des ‚Friedens'*)

In der folgenden Interpretation der Parabase des *Friedens* will ich hauptsächlich über ihren zweiten Teil Betrachtungen anstellen, da die zwei Oden für das Verständnis der ganzen Parabase eine kardinale Stellung einnehmen[1]).

In den Oden ruft der Sprecher in der ersten Person Singular die Muse an, sie solle den Tragiker Karkinos mit seinen Söhnen sowie die Brüder Morsimos und Melanthios – auch sie Tragödien-

---

*) Für die redaktionelle Hilfe und die sprachlichen Verbesserungen danke ich Herrn Prof. Dr. Carl Werner Müller herzlich.

1) Der hier zugrunde liegende Text ist der von V. Coulon (mit H. v. Daele's französischer Übersetzung), Paris 1923–30. Die Zeilenzählung folgt wie üblich der Ausgabe von R. F. Ph. Brunck.